ὑπὸ φαύλου λεγόμενον καὶ πραττόμενον. οἷόν ἐστι καὶ τὸ τῆς συγκοιμήσεως τοῦ Πάριδος ἐκ τῆς μάχης ἀποδράντος. οὐδένα γὰρ ἄλλον ἀνθρώπων ἡμέρας συγκοιμώμενον γυναικὶ ποιήσας ἢ τὸν ἀκόλαστον καὶ μοιχικὸν ἐν αἰσχύνῃ δῆλός ἐστι καὶ ψόγῳ τιθέμενος τὴν τοιαύτην ἀκρασίαν.

4. Ἐν δὲ τούτοις | εὖ μάλα προσεκτέον εἴ τινας ὁ ποιητὴς 19 αὐτὸς ἐμφάσεις δίδωσι κατὰ τῶν λεγομένων ὡς δυσχεραινομένων ὑπ' αὐτοῦ. καθάπερ ὁ Μένανδρος ἐν τῷ προλόγῳ τῆς Θαΐδος πεποίηκεν (fr. 217)

'ἐμοὶ μὲν οὖν ἄειδε τοιαύτην, θεά,
θρασεῖαν ὡραίαν δὲ καὶ πιθανὴν ἅμα,
ἀδικοῦσαν ἀποκλείουσαν αἰτοῦσαν πυκνά,
μηθενὸς ἐρῶσαν, προσποιουμένην δ' ἀεί.'

ἄριστα δ' Ὅμηρος τῷ γένει τούτῳ κέχρηται· καὶ γὰρ προδιαβάλλει τὰ φαῦλα καὶ προσυνίστησι τὰ χρηστὰ τῶν λεγομένων. προσυνίστησι μὲν οὕτως (ζ 148) B

'αὐτίκα μειλίχιον καὶ κερδαλέον φάτο μῦθον'

καί (B 189)

'τὸν δ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς·'

ἐν δὲ τῷ προδιαβάλλειν μονονοὺ μαρτύρεται καὶ διαγορεύει μήτε χρῆσθαι μήτε προσέχειν ὡς οὖσιν ἀτόποις καὶ φαύλοις. οἷον τόν τ' Ἀγαμέμνονα μέλλων διηγεῖσθαι τῷ ἱερεῖ χρώμενον ἀπηνῶς προείρηκεν (A 24)

'ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ,
ἀλλὰ κακῶς ἀφίει,'

τουτέστιν ἀγρίως καὶ αὐθάδως καὶ παρὰ τὸ προσῆκον· τῷ τ' C Ἀχιλλεῖ τοὺς θρασεῖς λόγους περιτίθησιν (A 225)

'οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο'

τὴν αὑτοῦ κρίσιν ὑπειπών (ib. 223)

'Πηλείδης δ' ἐξαῦτις ἀταρτηροῖς ἐπέεσσιν
Ἀτρείδην προσέειπε, καὶ οὔ πω λῆγε χόλοιο.'

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/43 UNIVERSITÄT LEIPZIG